οἱ ἀθληταί, παλαίστραν καλοῦσι, τῆς πάλης [τοὔνομα]
κτησαμένης τὸ πρῶτον, εἶτα καὶ τοῖς αὖθις ἐφευρεθεῖσιν
† ἐμπαρασχεῖν. τοῦτ' ἔφην ἐγὼ τὸ μαρτύριον οὐκ ἰσχυρὸν
εἶναι· κεκλῆσθαι γὰρ ἀπὸ τῆς πάλης τὴν παλαίστραν οὐχ
ὅτι πρεσβύτατόν ἐστι τῶν ἄλλων, ἀλλ' ὅτι μόνον τῶν τῆς
ἀγωνίας εἰδῶν πηλοῦ καὶ κονίστρας καὶ κηρώματος τυγ-
χάνει δεόμενον· οὔτε γὰρ δρόμον οὔτε πυγμὴν ἐν παλαί-
D στραις διαπονοῦσιν, ἀλλὰ πάλην καὶ παγκρατίου τὸ περὶ
τὰς κυλίσεις· ὅτι γὰρ μέμικται τὸ παγκράτιον ἔκ τε
πυγμῆς καὶ πάλης, δῆλόν ἐστιν. ‛ἄλλως δὲ πῶς' ἔφην
‛λόγον ἔχει τεχνικώτατον καὶ πανουργότατον τῶν ἀθλη-
μάτων τὴν πάλην οὖσαν ἅμα καὶ πρεσβύτατον εἶναι; τὸ
γὰρ ἁπλοῦν καὶ ἄτεχνον καὶ βίᾳ μᾶλλον ἢ μεθόδῳ περαι-
νόμενον αἱ χρεῖαι πρῶτον ἐκφέρουσιν.' ἐμοῦ δὲ ταῦτ'
εἰπόντος, ὁ Σωσικλῆς ‛ὀρθῶς' ἔφη ‛λέγεις, καὶ συμ-
βάλλομαί σοι πίστιν ἀπὸ τοῦ ὀνόματος· ἡ γὰρ πάλη μοι
δοκεῖ τῷ παλεύειν, ὅπερ ἐστὶ δολοῦν καὶ καταβάλλειν δι'
ἀπάτης, κεκλῆσθαι.' καὶ ὁ Φιλῖνος ‛ἐμοὶ δ'' εἶπεν
E ‛ἀπὸ τῆς παλαιστῆς· τούτῳ γὰρ μάλιστα τῷ μέρει τοῖν
χεροῖν ἐνεργοῦσιν οἱ παλαίοντες, ὥσπερ οἱ πυκτεύοντες
αὖ πάλιν τῇ πυγμῇ· διὸ κἀκεῖνο πυγμὴ καὶ τοῦτο πάλη
προσηγόρευται τὸ ἔργον. οὐ μὴν ἀλλὰ καὶ τὸ συμπάσαι
τῶν ποιητῶν καὶ καταπάσαι ‛παλῦναι' λεγόντων, ᾧ μά-
λιστα χρωμένους τοὺς παλαιστὰς ὁρῶμεν, ἔστι καὶ ταύτῃ
προσάγειν τὴν ἐτυμότητα τοῦ ὀνόματος. σκόπει δ' ἔτι'
εἶπεν ‛μὴ τοῖς μὲν δρομεῦσιν ἔργον ἐστὶν ὅτι πλεῖστον
ἀπολιπεῖν καὶ πορρωτάτω διαστῆναι, τοὺς δὲ πύκτας οὐδὲ
πάνυ βουλομένους ἐῶσιν οἱ βραβευταὶ συμπλέκεσθαι·
F μόνους δὲ τοὺς παλαιστὰς ὁρῶμεν ἀλλήλους ἀγκαλιζο-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id402389735/70 UNIVERSITÄT LEIPZIG